+ Νεόφυτος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης

Ἀρ: 1,120.

Ὁσιολογιώτατε Ἀρχιμανδρῖτα, τέκνον ἐν Κυρίῳ γνήσιον ἀγαπητὸν τῆς Ἡμῶν Μετριότητος, Κύριε Γερμανὲ Ἀηδονίδη. Χάρις εἴη τῇ σῇ Ὁσιολογιότητι καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' Ἡμῶν δ' εὐχὴ καὶ εὐλογία.

Πόθῳ πατρικῷ ἐδεξάμεθα τὸ ἀπὸ κζ.ης παρελάσαντος μηνὸς σύντομον τῆς σῆς Ὁσιολογιότητος γράμμα, ἐν ᾧ συγχαίρει Ἡμῖν ἐπὶ ταῖς ἄρτι πανηγυρισθείσαις ἑορταῖς τῆς τοῦ Σωτῆρος ἡμῶν καὶ Κυρίου ἐνδόξου ἀναστάσεως, σφόδρα ἥσθημεν ἐπί τε ταῖς συγχαρητηρίοις αὐτῆς ἐπευχαῖς καὶ τοῖς εὐαγγελίοις τῆς πολυεύκτου Ἡμῖν ἀγαθῆς αὐτῆς ὑγιείας. Ἐπὶ τὴν ἀπάντησιν δὲ προαγόμενοι, εὐχαριστοῦμεν μὲν ἐπὶ τῇ πρὸς Ἡμᾶς υἱϊκῇ φιλοστόργῳ αὐτῆς διαθέσει καὶ διαβεβαιοῦμεν, ὅτι καὶ Ἡμεῖς οὐ παυόμεθα πατρικῶς ἀγαπῶντες αὐτήν, ἀντισυγχαίροντες δέ, ἐπευχόμεθα αὐτῇ [illegible] τὴν ἐπὶ πολλὰς ἐνιαυτῶν περιόδους ἐπιτέλεσιν τῶν κοσμοχαρμοσύνων τούτων ἑορτῶν

·/·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ